ὡς ἀναφωνῶν αὐτῇ τῇ προφητείᾳ ἡ Ἠσαΐου ταυτί· εὐφράνθητι ἔρημος
διψῶσα· ἀγαλλιάσθω ἔρημος καὶ ἀνθείτω ὡς κρίνον· καὶ ἐξανθήσει καὶ
ἀγαλλιάσεται τὰ ἔρημα· ἰσχύσατε χεῖρες ἀνειμέναι· καὶ γόνατα παραλελυμένα πα-
ρακαλέσατε ὀλιγόψυχοι τῇ διανοίᾳ· ἰσχύσατε μὴ φοβεῖσθε· ἰδοὺ ὁ θεὸς ἡμῶν
κρίσιν ἀνταποδίδωσι καὶ ἀνταποδώσει· αὐτὸς ἥξει καὶ σώσει ἡμᾶς· ὅτι ἐρρά-
γη ἐν τῇ ἐρήμῳ ὕδωρ· καὶ φάραγξ ἐν γῇ διψώσῃ· καὶ ἡ ἄνυδρος ἔσται
εἰς ἕλη· καὶ εἰς τὴν διψῶσαν γῆν, πηγὴ ὕδατος ἔσται· καὶ τὰ δὲ μὲν λόγοις
πάλαι προτεθεσπισμένα τοῖς ὑψηλοῖς ἱεροῖς καταβέβληται· τὰ δὲ νῦν ἔργοις
ἐκτετέλεσται, ἀλλ' ἔργοις ἡμῖν παραδέδοται· ἡ ἔρημος ἡ δὲ ἄνυδρος ἡ χήρα
καὶ ἀπερίφρακτος· ἡ πρὸς ὡς ἐν δρυμῷ ξυλώμασιν, ἐξέκοψαν τὰς πύλας ἐπὶ
τὸ αὐτὸ ἐν πελέκει καὶ λαξευτηρίῳ κατέρριψαν αὐτήν· ἣ καὶ τὰς ὑψηλοὺς δια-
φθείραντας ἐνεπύρισαν ἐν πυρὶ τὸ ἁγιαστήριον τοῦ θεοῦ· εἰς τὴν γῆν ἐβεβή-
λωσαν τὸ σκήνωμα τοῦ ὀνόματος αὐτοῦ· ἣν ἐτρύγησαν πάντες οἱ παραπο-
ρευόμενοι τὴν ὁδὸν προκαθελόντες αὐτῆς τὸν φραγμόν· ἣν ἐλυμήνατο σῦς ἐκ δρυμοῦ,
καὶ μονιὸς ἄγριος κατενεμήσατο· Χριστοῦ δι' ὧν ἄνει παραδόξω νῦν ὁ πεφηνὼς
αὐτὸς γενόμενος ὡς κρίνον· ἐπεὶ καὶ τὸ ἐπ' αὐτοῦ νεῦμα τὴν ὥσπερ προκηδομένην
πρὸς ἐπαιδεύετο· ὃν γὰρ ἀγαπᾷ κύριος παιδεύει· μαστιγοῖ δὲ πάντα υἱὸν ὃν πα-
ραδέχεται· μετρίως δ' ἤτοι κατὰ τὸ δέον ἐπιτραφεῖσα, αὖθις ἄνωθεν ἐξ ὑπαρχῆς
ἀγαλλίασιν προσάπτεται· ἐξανθεῖ τε ὡς κρίνον καὶ τῆς ἐνθέου εὐωδίας
εἰς πάντα ἀποπνεῖ ἀρωμάτων· ὅτι ἐφ' ἧς ἐρράγη ἐν τῇ ἐρήμῳ ὕδωρ· τὸ νᾶμα
τῆς θείας τοῦ σωτηρίου λουτροῦ παλιγγενεσίας· καὶ νῦν γενομένη ἡ πρὶν ἀνικμὸς ἔρημος
εἰς ἕλη· καὶ εἰς τὴν διψῶσαν γῆν, ἐγένετο πηγὴ ὕδατος ζῶντος· ἰσχύσασι τε ὡς
ἀληθῶς χεῖρες αὐτῆς πρὶν ἀνειμέναι· καὶ τὰ τῶν χειρῶν ἰσχύος ἔργα τὰ δὲ τὰ μεγάλα
καὶ ἐναργῆ δείγματα· ἀλλὰ καὶ τὰ πάλαι σεσαθρωμένα καὶ παρειμένα γόνατα
τὰς οἰκείας ἀπολαβόντα βάσεις, τὴν ὁδὸν τῆς θεογνωσίας εὐθυποροῦντα
βαδίζει· ἐπὶ τὴν οἰκείαν ποίμνην τοῦ ποιμένος ἀγαθοῦ ποιμένος σπεύδοντα· εἰ γὰρ καὶ τοῦ
τυράννου ἀπειλαῖς τὰς ψυχὰς τινὲς ἀπεναρκήσαντες, ἀλλὰ τοῦ τελεσφόρου ἀθεραπεύ-
του παρορώμενος· εὖ μάλα δὲ καὶ αὐτοὶ ἰώμενοι, εἰς τὴν τοῦ θεοῦ παράκλησιν παρορ-
μῶντες· παρακαλέσατε οἱ ὀλιγόψυχοι τῇ διανοίᾳ· ἰσχύσατε μὴ φοβεῖσθαι· τῆς
δεινῆς ἀπολαῦσαι τὴν διὰ ἀνθρώπων γενομένην ἔρημον τοῦ λόγου προσαγορευόμενος, ἐπα-
κούσασα ὀξείᾳ διανοίας ἀκοῇ οὕτως ὁ νέος ἡμῶν καὶ καλὸς Ζοροβάβελ
μετ' αὐτὴν τὴν ἐκεῖ ἐκείνην αἰχμαλωσίαν καὶ τὸ βδέλυγμα τῆς ἐρημώσεως παρελ-
θὸν τὸ προσῆκον μὲν ἐκκλησίας, πρῶτον ἀγάπην παρακλήσεως καὶ λοιπὸν ἵλεων τὴν παρὰ μετὰ
τῆς κοινῆς ὑμῶν ἁπάντων ὁμοφροσύνης καταστησάμενος· καὶ τὸν μόνον